**αἰολικὸν δακτυλικὸν ἑξάμετρον καταληκτικὸν εἰς συλλαβήν**

Tzetz. *de metr.* 315. 13 sqq.
τὸ δ’ αὖ αἰολικὸν μέτρον τὸν πρῶτον πόδα φέρει,
ἴαμβον ἢ πυρρίχιον, σπονδεῖον ἢ τροχαῖον,
εἴτέ μην καὶ ἀνάπαιστον, εἴτε καὶ τὸ χορεῖον.
τοὺς καθεξῆς δὲ σύμπαντας μέχρι τοῦ τελευταίου,
δακτύλους μόνους κέκτηται· πρὸς δὲ τὴν ἕκτην μόνην
τροχαῖον ἢ καὶ δάκτυλον, εἴτε καὶ τὸν σπονδεῖον,
ἢ καθαρὸν ἀμφίμακρον, ὡς εὕρῃς ἐν Ὁμήρῳ.
Trich. 379. 4 sqq. καὶ ἑξάμετρα μέν εἰσι, καταληκτικὰ μὲν εἰς συλλαβὴν ὡς τὸ·
ἴσον μοί τε φανέντα ἁμαρτάδος ἔκτοθι γάρ. [*P.S.*]